ὁ τῆς μέσης κλίνης τελευταῖος ὃν ὑπατικὸν προσαγο-
ρεύουσιν, τῶν δὲ περὶ τὸν Πόντον Ἑλλήνων ἐνίοις, ὥσπερ
Ἡρακλεώταις, ἔμπαλιν ὁ τῆς μέσης πρῶτος. ἀλλὰ περὶ
τοῦ γ᾽ ὑπατικοῦ λεγομένου μάλιστα διηποροῦμεν. οὗτος
γὰρ ἐπρώτευε τῇ τιμῇ καθ᾽ ἡμᾶς, καὶ τὴν αἰτίαν οὔθ᾽ ὡς
C ὁ πρῶτος οὔθ᾽ ὡς ὁ μέσος εἶχεν νενομισμένην ἔτι, καὶ
τῶν συμβεβηκότων αὐτῷ τὰ μὲν οὐκ ἦν ἴδια τούτου μόνου
τὰ δ᾽ οὐδεμιᾶς ἄξια σπουδῆς ἐφαίνετο. πλὴν τρία γε τῶν
λεχθέντων ἐκίνει, πρῶτον μὲν ὅτι τοὺς βασιλεῖς κατα-
λύσαντες οἱ ὕπατοι καὶ πρὸς τὸ δημοτικώτερον ἅπαντα
μετακοσμήσαντες ἐκ τῆς μέσης καὶ βασιλικῆς χώρας
ὑπῆγον αὑτοὺς κάτω συγχωροῦντες, ὡς μηδὲ τοῦτο τῆς
ἀρχῆς αὐτῶν καὶ ἐξουσίας ἐπαχθὲς εἴη τοῖς συνοῦσιν·
δεύτερον δ᾽ ὅτι, τῶν δυεῖν κλινῶν ἀποδεδομένων τοῖς
παρακεκλημένοις, ἡ τρίτη καὶ ταύτης ὁ πρῶτος τόπος
D μάλιστα τοῦ ἑστιῶντός ἐστιν· ἐνταῦθα γὰρ ὥσπερ
ἡνίοχος ἢ κυβερνήτης ἐπὶ δεξιὰ πρὸς τὴν ἐπίβλεψιν ἐξι-
κνεῖται τῆς ὑπηρεσίας καὶ τοῦ φιλοφρονεῖσθαι καὶ δια-
λέγεσθαι τοῖς παροῦσιν οὐκ ἀπήρτηται· τῶν ⟨δὲ⟩ συνέγ-
γιστα τόπων ὁ μὲν [γὰρ] ὑπ᾽ αὐτὸν ἢ γυναικὸς ἢ παίδων
ἐστίν, ὁ δ᾽ ὑπὲρ αὐτὸν εἰκότως τῷ μάλιστα τιμωμένῳ
τῶν κεκλημένων ἀπεδόθη, ἵν᾽ ἐγγὺς ᾖ τοῦ ἑστιῶντος.
τρίτον δ᾽ ἔχειν ἴδιον οὗτος ὁ τόπος ἐδόκει τὸ πρὸς τὴν
πρᾶξιν εὐφυές· οὐ γάρ ἐστιν ὁ τῶν Ῥωμαίων ὕπατος οἷος
Ἀρχίας ὁ Θηβαίων πολέμαρχος, ὥστε, γραμμάτων ἢ
λόγων αὐτῷ μεταξὺ δειπνοῦντι φροντίδος ἀξίων προσπε-
E σόντων, ἐπιφθεγξάμενος ‘εἰς ἕω τὰ σπουδαῖα’ τὴν μὲν
ἐπιστολὴν παρῶσαι λαβεῖν δὲ τὴν θηρίκλειον, ‘ἀλλὰ μάλ᾽
ἐμμεμαὼς’ (Υ 468) καὶ περιεσκεμμένος ἐν τοῖς τοιούτοις
καιροῖς. οὐ γὰρ μόνον ‘ὠδῖνα τίκτει ⟨νὺξ⟩ κυβ⟨ερνήτῃ⟩